τῷ ῥήματι ἐπιγράφεσθαι πατέρα, παῖδας δὲ 1) τοὺς ἐξ Ἰσραήλ· καὶ τῷ δημιουργῷ δὲ καὶ σωτῆρι ἡμῶν οὐκ ἦν ὁ σκοπὸς δεῖξαι τοὺς Ἰουδαίους τοῦ πατρὸς τοῦ διαβόλου τέκνα χρηματίζειν, (ἕτερον γὰρ ἂν ἐκείνοις ἠλαζονεύετο, καὶ πρὸς ἕτερον, οὗ μή πω μὲν ὄνειδος, μήπω δὲ κατηγορίαν εἶχον, μεθεῖλκεν ἂν καὶ μετέφερεν, ὅπερ οὐκ ἦν συντηροῦντος τὸ ἀκόλουθον), ἀλλ᾽ αὐτοῦ γε δηλονότι τοῦ διαβόλου παῖδας ὠνόμαζεν, οὗ καὶ τὴν ἐν τῇ κλήσει σχέσιν, κἂν τῇ γνώμῃ καὶ τῇ μιμήσει τῶν πράξεων συνεφέροντο, βαρύ τε ἦν αὐτοῖς ἀκούειν καὶ ἀποτρόπαιον. Ἐπεὶ οὖν καὶ 2) ὁ Ἰουδαῖος πατέρα τὸν Θεὸν ἐπέγραφεν ἑαυτοῦ, καὶ ὁ Σωτὴρ ἐπιδεικνύειν 3) ἐσπούδαζε διὰ τῶν ἔργων, τοῦτο μὲν ψευδομένους, τὸν διάβολον δὲ δι᾽ ὧν ἔπραττον πατέρα ποιουμένους, τίς ἂν εἴη λόγος ὁ περαίνων τὸν πατέρα τοῦ διαβόλου πατέρα τῶν Ἰουδαίων διὰ τῶν λογίων ὀνομάζεσθαι;

§. γ΄. Ἡ γάρ τοι δι᾽ ὑποφορᾶς πρὸς τοὺς Ἰουδαίους ἀποτεινομένη τοῦ Σωτῆρος φωνὴ οὐδὲν αὐτῶν συναντιλήψεται τῇ προθέσει· τὸ μὲν γὰρ πρόχειρον, καὶ τὴν διαστολὴν οὐκ εἰδὸς τῆς ἀναγνώσεως, καὶ πρὸς ἣν μάλιστα τῶν πολλῶν ἡ γλῶττα παρασύρεται αὐτοσχεδιάζειν, εὗρεν ἕτοιμον πατέρα τοῦ διαβόλου, ὃν οὐδεμία χρῆσις οὐδ᾽ ἐν τῇ κλήσει τὴν φύσιν ἔχειν ἐγνώρισε· τὸ δὲ περιεσκεμμένον, τῷ τρόπῳ τῆς διαστολῆς ῥυθμιζόμενον, καὶ ταῖς προλαβούσαις ἐννοίαις συνδιαιρούμενον, αὐτόν τε τὸν διάβολον πατέρα τῶν ἀγνωμόνων Ἰουδαίων ἀπαγγέλλει, καὶ ὃν ὁ ἀνεπίσχετος τῆς γλώττης δρόμος, τὴν διαστολὴν ὑπερβαίνων, περιαγγέλλει πατέρα τοῦ διαβόλου πλάττων, οὐμενουν, οὐδαμῶς συνεπίσταται. Ἐπιτιμήσεως δὲ τρόπῳ τὸν λόγον ὁ Σωτὴρ προάγων, ἐπείπερ ἔλεγεν ὁ Ἰουδαίων δῆμος, «ἕνα πατέρα ἔχομεν τὸν Θεόν», τολμᾶτε δέ γε ἄρα, φησί, καὶ οὐκ ἐγκαλύπτεσθε, πατέρα κατονομάζειν τὸν Θεόν; οὐχὶ 4) ὑμεῖς τοῦ διαβόλου ἐστέ, δι᾽ ὧν τὰς ἐντολὰς αὐτοῦ θέλετε ποιεῖν, υἱοὺς αὐτοῦ δεικνῦντες ἑαυτούς; οὗ γάρ τις κατὰ τὰς ἐντολὰς μορφοῦται καὶ διαπλάττεται, τούτου καὶ υἱὸς κατονομάζεσθαι δίκαιος εἴη ἄν. Τίνας δ᾽ ἂν ἐντολὰς οἱ Ἰουδαῖοι ἐσπούδαζον, ἢ δι᾽ ὧν ὁ διάβολος ἐδοξάζετο; «Δόξαν παρ᾽ ἀλλήλων 5) λαμβάνοντες» 6), ταῖς συκοφαντίαις τοὺς πλησίον κατεσθίοντες, φθόνῳ τὰ κάλλιστα λυμαινόμενοι, φόνον κατὰ τοῦ σωτῆρος μηχανώμενοι, καὶ γλώσσῃ καὶ γνώμῃ τὸν θάνατον συσκευάζοντες, τὸ ψεῦδος τῆς ἀληθείας ἔμπροσθεν ἄγοντες, καὶ δόλον καὶ διαβολὴν καὶ φιλαργυρίαν τὸν βίον ποιούμενοι, καὶ ὅσα τούτοις παραπλήσια, δι᾽ ὧν καὶ τὴν τοῦ διαβόλου συγγένειαν, ὡς ἀρχηγοῦ καὶ σπορέως τούτων, περιφανῶς ᾠκειώσαντο. Ἐπὶ τούτοις καὶ τὸ ἐπαγόμενον καὶ συνηρτημένον λόγιον, τὸ μὲν οὐκ οἶδεν ὅλως πατέρα λέγω τινὰ τοῦ διαβόλου κατονομάζεσθαι, τὸ δὲ πάλιν ὑποβάλλει καταγγέλλεσθαι πατέρα τῶν Ἰουδαίων τὸν διάβολον, καὶ εἶναι, καὶ ὀνομάζεσθαι· φησὶ γάρ, «Ἐκεῖνος ἀπ᾽ ἀρχῆς ἀνθρωποκτόνος ἦν», τὸν διάβολον δηλονότι λέγων 7), ἀλλ᾽ οὐχ ἕτερόν τινα πατέρα τοῦ διαβόλου· τίνι δ᾽ ἂν ἑτέρῳ τὸ «ἀνθρωποκτόνος» καὶ τὸ «ἀπ᾽ ἀρχῆς» ἐφαρμόσει, καὶ τὸ «μηδαμῶς ἐν τῇ ἀληθείᾳ ἑστάναι», εἰμὴ αὐτῷ γε τῷ διαβόλῳ, ὃς τὴν γλῶσσαν μὲν κατὰ τοῦ δημιουργοῦ τῷ ψεύδει παρώξυνε, τῷ δόλῳ δὲ ταύτην γλυκάνας, τῷ πρωτοπλάστῳ προέτεινε, καὶ λόγοις ἐπικλόποις 8) καταγοητεύσας, τῆς ἐν παραδείσῳ τρυφῆς καὶ ἀϊδίου ζωῆς, ὑπερώρισεν, ἐργαστήριον θανάτου τῆς ἀθανασίας τὸ χωρίον ἐργασάμενος; «θάνατον γὰρ ὁ Θεὸς οὐκ ἐποίησεν» 9), ἀλλ᾽ ἡ τοῦ πρωτοπλάστου παράβασις τὴν συμβουλὴν συλλαβοῦσα τοῦ ὄφεως, τὸν θάνατον ἀπεκύησεν. Οὐκοῦν καὶ «ἀνθρωποκτόνος ἀπ᾽ ἀρχῆς ὁ διάβολος», καὶ «ἐν τῇ ἀληθείᾳ οὐχ ἔστηκε», καὶ αὐτοὶ ζητοῦντες ἀποκτεῖναι τὸν Κύριον, καὶ τὸ ψεῦδος ἀεὶ πρὸ τῆς ἀληθείας ἑλόμενοι, τὴν μορφὴν τοῦ γεγεννηκότος ἀπαραχάρακτον διασώζουσι.

§. δ΄. Καὶ φανερὸν ἐκ τῶν εἰρημένων, ὅτι πατὴρ μὲν τῶν Ἰουδαίων ὁ διάβολος ὀνομάζεται, πατρὸς δὲ τοῦ διαβόλου οὔτε φύσιν λαβεῖν ἐστιν οὔτε κλῆσιν οὐδαμῶς παραδηλουμένην οὔτε 10) τῷ ῥήματι διὰ τῶν λογίων, οὔτε τῷ νοήματι. Ἡ μέντοι γε τῆς προκειμένης ἐξ ἀρχῆς ὑποθέσεως τελευταία περίοδος δόξει μὲν ἴσως τοῖς πρὸς μηδὲν τῶν βαθυτέρων ἐμφιλοχωρεῖν κέρδος ποιουμένοις, ὡς εἴη τοῦ διαβόλου πατέρα ὑποσημαίνουσα, τοὐναντίον δὲ 11) ἅπαν, κατασκευάζει, καὶ τοῖς πρὸ αὐτῆς συνᾴδει ἐνθυμήμασι, πατέρα καὶ αὐτὴ τῶν Ἰουδαίων ἐπιδεικνυμένη τὸν διάβολον· διπλῆς γὰρ τῆς προβολῆς παντὸς τοῦ προκειμένου λόγου τῶν ἐνθυμημάτων γενομένης, καὶ νῦν μὲν ἐκ τῆς τῶν γεγενημένων κακίας τοῦ γεγεννηκότος τὴν μίμησιν ἐπιδεικνυμένης, νῦν δὲ διὰ τοῦ γεννησαμένου τῶν γεγεννημένων τὴν ὁμοιότητα παριστώσης, ἔτι πάλιν ἀπὸ τῶν γεγεννημένων ἐπὶ τὸν γεγεννηκότα διαβαίνουσα, ἀπαράλλακτον τὴν ὁμοιότητα στηλιτεύει, καὶ τὴν συγγένειαν αὐτῶν οὐδὲν ἐπιφερομένην ἐπιδείκνυσι νόθον· φησὶν οὖν, ὅταν ὁ Ἰουδαῖος τὸ ψεῦδος λαλῇ, ὥσπερ καὶ νῦν, πατέρα λέγων ἑαυτοῦ τὸν Θεόν, ἐκ τῶν ἰδίων λαλεῖ· ἴδιος γὰρ κλῆρος τῷ παιδὶ 12) τοῦ πατρὸς ὁ πλοῦτος. Ἐκ τῶν ἰδίων οὖν ὁ Ἰουδαῖος λαλεῖ, τὸν πατρῷον ὑπελθὼν κλῆρον· καὶ αὐτὸς γὰρ ψεύστης ἐστίν, ὥσπερ ὁ πατὴρ αὐτοῦ. Δῆλον οὖν ὡς ἡ τοῦ λόγου αὕτη περικοπὴ οὐ μόνον [οὐ] 13) συμφθέγγεται τοῖς πατέρα

1) Δηλονότι τοῦ Θεοῦ. — 2) Ἐν ΒΜ. λείπει ὁ καί. — 3) Δεικνύειν ΒΜ. — 4) Ἢ οὐχὶ ΒΜ. — 5) Ἄλλων ΒΜ. — 6) Ἰωάν. ε, 44. — 7) Ἐν ΒΜ. λείπει τὸ «λέγων». — 8) Ἐπικλόπως ΒΜ. — 9) Σοφ. Σολ. α, 13. — 10) Τὰ «οὔτε—λογίων» λείπουσιν ἐν ΒΜ. — 11) Ἴσ. γρ. Ἡ δὲ τοὐναντίον ἅπαν, κατεσκευασμένη. — 12) Πατρὶ ΒΜ. — 13) Ἡμετ. διόρθ. λείπει δὲ τὸ οὐ ἐκ τοῦ ΑΡ. καὶ ΒΜ.

πλάττουσι τοῦ διαβόλου, ἀλλὰ καὶ τῶν Ἰουδαίων πατέρα τὸν διάβολον μόνον ἀφορίζει. Ἀλλὰ ταῦτα μὲν συγγυμνασίας εἶδος καὶ λόγον ἐχέτω, τὴν τοῦ δόγματος τέως προσηγορίαν εὐλαβούμενον, ἕως ἂν ὁ 1) ὑψηλότερος λόγος ἀναφανείς, καὶ δόγμα εἶναι τῇ διανοίᾳ καὶ τῷ κράτει τὴν κρίσιν λαβών, καὶ τῶν διὰ βίου φιλοσοφούντων τὴν ἱερὰν ἐμπλήσας ἐπιθυμίαν, δείξῃ μὴ μάτην ἀεὶ πρὸς ζήτησιν ἀνατεινομένην τοῦ ἐξῃρημένου νοήματος τῆς τῶν πολλῶν καταλήψεως.

ΜΗ΄. (ΒΜ. μη΄.).

Πόσαι εἰσὶν αἱ τὸν Κύριον ἀλείψασαι μύρῳ 2);

§. α΄. Οὐχὶ τὴν αὐτὴν εὑρίσκω προϊοῦσαν δόξαν παρ᾽ οἷς ταῦτα διερευνᾶσθαι γέγονεν ἡ σπουδή· οἱ μὲν γὰρ ἁπλούστερον καὶ ἐπιπολαιότερον, ἵνα μὴ ἀμαθέστερον εἴπω, τῇ διαφόρῳ κλήσει τῶν ἀναγραψαμένων τὴν ἱστορίαν ταύτην καὶ τὰ τῶν γυναικῶν συνδιαιροῦσι πρόσωπα, καὶ τέσσαρας ταύτας εἶναί φασι, πρὸς οὐδέν, οἶμαι, βαθύτερον τὸν 3) λογισμὸν ἐπιστήσαντες, ἢ πρὸς μόνην τὴν τῶν εὐαγγελισαμένων ποσότητα. Τοῖς δὲ εἰς δύο περιεστάλη τὰ πρόσωπα, καὶ τὴν μέν φασι σεμνὴν εἶναι καὶ σώφρονα καὶ ἀδελφὴν τοῦ Λαζάρου καὶ τῆς Μάρθας, τὴν δὲ διαφόρου μὲν ἀναγραφῆς τυχεῖν, μίαν δὲ εἶναι καὶ ταύτην ἐξ ἀσέμνου καὶ πανδήμου βίου παρθενικοὺς ἀγῶνας ἐξ ἀκαθαρσίας μετελθοῦσαν· περὶ ταύτης δὲ τόν τε Ματθαῖον καὶ Μάρκον, ἀλλὰ καὶ τὸν Λουκᾶν διαλαβεῖν, καὶ τὴν αὐτὴν ἱστορίαν διαφόροις ῥήμασιν ἀπηγγελκότας ἀναγράψασθαι. Οἱ δὲ καὶ πρὸς μίαν πάσας συνάγουσιν, οὐδεμίαν τῇ δόξῃ ἀσφάλειαν περιθέμενοι, ἀλλ᾽ οὐδ᾽ ἀπὸ τῆς τῶν προσώπων ποιότητος τῆς τοιαύτης ὑπολήψεως ἐπιφερομένης τὸ αἰδέσιμον. Ἀπολινάριος γὰρ καὶ ὁ Μοψουεστίας Θεόδωρος ταύτης εἰσὶν οἱ γεννήτορες. Ἐμὲ δὲ οὐδὲ δύο ταύτας ἐπιτρέπουσι λέγειν οὔτε τοῦ Σωτῆρος οἱ λόγοι, οὔτε τῶν φιλοθέων γυναικῶν αἱ πράξεις, οὔτε τὸ διάφορον τοῦ καιροῦ, ἀλλ᾽ οὐδὲ τῶν θεατῶν καὶ ἀκροατῶν ἡ ἐπὶ τῷ πραχθέντι γνώμη· καὶ ἄλλα δὲ τούτων οὐκ ἐλάττονα τρεῖς εἶναι ταύτας, ἀλλ᾽ οὔτε πλείους τῶν τριῶν, οὔτε ἐλάττους ἐκδιδάσκει. Πρώτη μὲν οὖν ἐστιν ἡ παρὰ τῷ Λουκᾷ ἀναγεγραμμένη, ἥτις καὶ πρὸ πολλῶν πράξεων καὶ διδασκαλιῶν τοῦ Ἰησοῦ εἰς ἱστορίας μνήμην παρελήφθη· μετὰ ταῦτα γὰρ εἰς τὸ κήρυγμα καὶ τοὺς μαθητὰς ὁ Ἰησοῦς 4) ἀποστέλλει, καὶ τὸ τῶν πέντε ἄρτων θαυματουργεῖται πλῆθος, καὶ ἡ περὶ τοῦ διδασκάλου τῶν μαθητῶν ὑπόληψις λογοθετεῖται, καὶ ἡ τῆς μεταμορφώσεως ὑπὲρ νοῦν καὶ λόγον πρᾶξις θεουργεῖται· «ἐγένετο γάρ, φησί, μετὰ τοὺς λόγους τούτους, ὡσεὶ ἡμέραι ὀκτώ· καὶ παραλαβὼν Πέτρον, καὶ Ἰωάννην, καὶ Ἰάκωβον, ἀνέβη εἰς τὸ ὄρος προσεύξασθαι· καὶ ἐγένετο ἐν τῷ προσεύχεσθαι αὐτὸν τὸ εἶδος τοῦ προσώπου αὐτοῦ ἕτερον, καὶ ὁ ἱματισμὸς αὐτοῦ λευκὸς ἐξαστράπτων» 5), καὶ ἑξῆς· ἀλλὰ γὰρ καὶ οἱ ἑβδομήκοντα μαθηταὶ μετὰ ταῦτα ἀναδείκνυνται, καὶ ἄλλα δὲ πολλὰ τερατουργεῖται, καὶ σωτηριώδεις διδασκαλίαι καὶ παραινέσεις καταβάλλονται 6), καὶ παραβολαὶ ταῖς νουθεσίαις συνυφαίνονται· δῆλον δέ, ὡς οὐδὲ τὸ πάθος οὔπω ἐνεστήκει, οὐδ᾽ ἡ τῶν μιαιφόνων Ἰουδαίων ἐπιβουλὴ διὰ βουλῆς καὶ μελέτης τὸ κῦρος ἐλάμβανεν.

§. β΄. Ἀπὸ μὲν 7) τοῦ καιροῦ τὸ διάφορον τῆς παρὰ τῷ Λουκᾷ γυναικὸς 8) πρὸς τὰς ἄλλας οὕτω φανερῶς καὶ ἀναμφιβόλως ἔξεστιν ἐννοεῖν τοῖς βουλομένοις· καὶ γὰρ τῶν ἄλλων ἑκατέρας, ἤδη τοῦ δεσποτικοῦ πάθους ταῖς τῶν Ἰουδαίων μελέταις ἐνεργουμένου, αἱ ἱστορίαι τὴν μνήμην εἰσάγουσι, τὴν μὲν 9) πρὸ ἓξ ἡμερῶν τοῦ πάσχα, τὴν δὲ πρὸ δύο τοῦ πάθους· καὶ τῆς μὲν τὴν πρᾶξιν ὁ παρθένος καὶ ἠγαπημένος μαθητὴς ἀναγράφει 10), ἥτις καὶ ἀδελφὴ τοῦ τε Λαζάρου καὶ τῆς Μάρθας ἐχρημάτιζε, καὶ τῶν ἀγαπωμένων ἐγνωρίζετο τοῦ Ἰησοῦ 11), καὶ τῶν θαυμαζομένων, ὅσα γε ἐπὶ τῇ τοῦ βίου σεμνότητι, ἥτις καὶ πρὸ ἓξ ἡμερῶν τοῦ πάσχα τὴν ἱερὰν ἐκείνην ἱερουργήσασα τελετήν, τὸν οἶκον αὐτῆς ἱερὸν ἀνάκτορον ἀπειργάσατο. Ἐπὶ ταύταις ἡ τρίτη καὶ τελευταία, ἡ πρὸ δύω ἡμερῶν ἀλείψασα τοῦ πάθους τὸν Σωτῆρα, περὶ ἧς Ματθαῖός τε καὶ Μάρκος τὴν διήγησιν ἀνετάξαντο 12). Οὐκοῦν εὐλόγως ὁ λόγος αὐτὰς τρεῖς ἀνακηρύττει. Καὶ ὅρα κἀντεῦθεν· καὶ ἡ μὲν ἁπλῶς τῷ τῆς κακίας ὀνόματι ἁμαρτωλὸς ὀνομάζεται, καὶ εἰς τὴν οἰκίαν τοῦ Φαρισαίου, οὐχὶ δὲ τοῦ Σίμωνος τοῦ λεπροῦ, τὸν Ἰησοῦν ὁρᾷ, τῇ παρακλήσει τοῦ ἑστιῶντος ἅλων καὶ τραπέζης κοινωνῆσαι κατακεκλιμένον· αὕτη καὶ τοῦ μύρου προχέει τὰ δάκρυα, καὶ τοὺς πόδας βρέχει τοῦ Ἰησοῦ, καὶ ταῖς θριξὶ τῆς κεφαλῆς ἐκμάσσει, καὶ καταφιλεῖν λαμβάνει θάρσος, κἀκεῖθεν παῤῥησιάζεται,

1) Τὸ ἄρθρον περιέλκειν δοκεῖ. — 2) ΒΜ. ἐν δὲ ΑΡ. ΚΜ. μύρον. — 3) Ἐν ΒΜ. λείπει τὸ τόν. — 4) Ἐν ΒΜ. λείπει τὸ Ἰησοῦς. — 5) Λουκ. θ, 29. — 6) Τὰ «ἄλλα δὲ—καταβάλλονται» λείπουσιν ἐκ τοῦ ΒΜ. — 7) Ἴσ. λείπει ὁ οὖν. — 8) Λουκ. ζ, 39. — 9) Ἴσ. γρ. τῆς μέν, τῆς δέ. — 10) Ἰωάν. ιβ, 3. — 11) Τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ ΒΜ. — 12) Ματθ. κς, 6: Μάρκ. ιδ, 3.